## XIV. (6742—1234) mense martio ind. VII.

*Sebastocrator Manuel Angelus Ragusaeis privilegia impertit.*

† Διὰ τὴν ἀγάπην, ἣν ἔχει ἡ βασιλεία μου εἰς τοὺς οἰκήτορας τοῦ κάστρου Ῥαουσίου (εὐγνώμονες γὰρ καὶ αὐτοὶ ἐφάνησαν περὶ τὴν βασιλείαν μου, καὶ καλῶς καὶ εὐνοϊκῶς καὶ εὐσπλάγχνως διετέθησαν περὶ τὰ παιδία τῆς βασιλείας μου, ἤγουν τὸν ὑψηλότατον ῥῆγα Σερβίας καὶ περιπόθητόν μου γαμβρὸν, κῦρ Στέφανον τὸν Δούκαν, καὶ τὴν ἐγκάρδιόν μου ἀνεψιὰν τὴν ῥήγαιναν, κῦρ Ἄνναν τὴν Δούκαιναν), διὰ γοῦν τὴν τοιαύτην ἀγάπην, ἣν ἔχει ἡ βασιλεία μου εἰς τοὺς Ῥαουσαίους, φιλοτιμεῖται αὐτοῖς τὸ παρὸν πρόσταγμα αὐτῆς, δι' οὗ καὶ διορίζεται, ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἔχωσιν ἐλευθερίαν οἱ τοιοῦτοι Ῥαουσαῖοι ἀπὸ τοῦ μέρους τῆς βασιλείας μου καὶ ἐν τῇ θαλάσσῃ καὶ ἐν τῇ ξηρᾷ· ὅπου γὰρ ἂν εὑρίσκωσι τούτους τὸ μέρος τῆς βασιλείας μου, οὐ μὴν τολμήσωσι βλάψαι ἢ ζημιῶσαι αὐτοὺς μέχρι καὶ τοῦ σμικροτάτου, ἀλλὰ οἱ ἀγαπητοὶ τῇ βασιλείᾳ μου φυλάξουσιν αὐτοὺς, καὶ βλάβην οὐδεμίαν ἐπάξουσιν αὐτοῖς οὔτε ἐν τῇ χέρσῳ, οὔτε ἐν τῇ θαλάσσῃ, ὡς εἴρηται. μᾶλλον δὲ ἐὰν καὶ θαλάσσιοι κουρσάριοι καταδιώκωσι ξύλα τῶν Ῥαουσαίων, καὶ καταφύγωσι τὰ τοιαῦτα ξύλα εἰς χώραν τῆς βασιλείας μου, ἵνα ἔχωσιν ἐξ ἀνάγκης οἱ τῆς χώρας ἐκείνης ἄνθρωποι ἀντιλαμβάνεσθαι καὶ διεκδικεῖν, ὅσον τὸ δυνατὸν αὐτοῖς, τὰ ξύλα τῶν Ῥαουσαίων. οἱ πραγματευταὶ δὲ τοῦ τοιούτου κάστρου ἵνα περιπατῶσιν ἐν πάσῃ τῇ χώρᾳ τῆς βασιλείας μου καὶ πραγματεύωνται, πωλοῦντες καὶ ἀγοράζοντες τὰ ἀρέσκοντα αὐτοῖς. ἐὰν δὲ συμβῇ καιρὸς λείψιον γεννημάτων ἐν τῇ χώρᾳ τῆς βασιλείας μου, τότε οὐ μὴν παραχωρῶνται ἀγοράζειν γεννήματα καὶ ἐξάγειν αὐτὰ ἐκ τῆς χώρας τῆς βασιλείας μου· ἀνάγκη γὰρ πάντως ἐστὶ, πρῶτον διατροφὴν τὸν ἐγχώριον λαβεῖν καὶ τότε ἐξάγεσθαι τὸ τῆς χώρας τῆς βασιλείας μου ἀγαθὸν καὶ εἰς τὰς γειτονούσας χώρας. ἡ βασιλεία μου δὲ περικόπτει καὶ καθολικῶς ἐμποδίζει, ἵνα μὴ ἐνεχυράζωνται Ῥαουσαῖοι ἐν τῇ ἐπικρατείᾳ πάσῃ τῆς βασιλείας μου διὰ πρόφασιν οἱανδήτινα εὔλογον, εἴτε καὶ ἀνεύλογον· εἰ γάρ τις ἔχει λέγειν κατὰ Ῥαουσαίους, ὀφείλει ἀνατρέχειν πρὸς τὴν βασιλείαν μου καὶ ἀναφέρειν αὐτὸ, ἡ δὲ βασιλεία μου μηνύσει περὶ τούτου τοῖς ἀγαπητοῖς αὐτοῖς Ῥαουσαίοις, κἀκεῖνοι τὰ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2008

περὶ τούτου γνωρίσαντες ποιήσουσι πάντως τὸ δίκαιον. ἔτι καὶ τοῦτο προστίθησιν ἡ βασιλεία μου· ἐὰν συμβῇ ἀποθνήσκειν Ῥαγουσαῖον ἐν τῇ χώρᾳ τῆς βασιλείας μου, οὐ μὴν τολμήσῃ οὐδεὶς τῶν κυβερνώντων ἐξουσίαν βασιλικὴν μικρὰν εἴτε καὶ μεγάλην βαλεῖν χεῖρα ἐπὶ τοῖς πράγμασιν αὐτῶν καὶ μέχρι καὶ τοῦ τυχόντος ἐκεῖθεν ἀποκερδῆσαι, ἀλλ' ἀναζητήσουσι τὰ πράγματα τῶν ἀποθνησκόντων οἱ κατὰ γένος ἐκείνοις προσήκοντες, καὶ ἀπολήψονται αὐτὰ ἐκ τῶν οἷς παρετέθησαν αὐτὰ ἐν τῇ τελευταίᾳ αὐτῶν ἀποδημίᾳ. γέγονε τὸ παρὸν πρόσταγμα τῆς βασιλείας μου ἐκ παρακλήσεως τῶν ἀγαπητῶν τῇ βασιλείᾳ μου Ῥαουσαίων, καὶ ἐπεδόθη αὐτοῖς εἰς τὴν περὶ τούτου ἀσφάλειαν μ η ν ὶ μ α ρ τ ί ῳ ἰ ν δ ι κ τ ι ῶ ν ο ς ζ'.

† Μ α ν ο υ ὴ λ δ ε σ π ό τ η ς ὁ Δ ο ύ κ α ς †.

## XV. (6746—1237) mense octobri ind. XI.

*Michaël II. Angelus Ducas, despota Epiri, Ragusaeis privilegia concedit.*

† Δίκαιον καὶ προσφιλὲς θεῷ τὸ τοῖς πατρικοῖς ἴχνεσιν ἐπακολουθεῖν, καὶ μᾶλλον, εἰ ἐν ἀγαθαῖς πράξεσιν οἱ πόδες ἐκείνου ἐβάδισαν. ἐπεὶ οὖν, ὡς εἴρηται, δίκαιον καὶ ἄξιόν ἐστιν καὶ τῷ θεῷ ἀρεστὸν, ἀνανεοῦμεν διὰ τοῦ παρόντος ἡμῶν ὁρισμοῦ τὸ τοῖς Ῥαουσαίοις ἐπιβραβευθὲν σιγίλλιον παρὰ τοῦ ἀοιδίμου αὐθέντου καὶ πατρός μου, τοῦ Κομνηνοῦ κῦρ Μιχαὴλ τοῦ Δούκα, ὀπαδοὶ τῶν ἐκείνου ἀγαθοπραγιῶν γινόμενοι, καὶ διοριζόμεθα, ἵνα, ἐάν τινα Ῥαουσαῖον συμβῇ τελευτῆσαι ἐν οἱᾳδήτινι ἡμετέρᾳ χώρᾳ, μὴ ἐπιβαλεῖν χεῖρα ἐπὶ τοῖς αὐτοῦ πράγμασιν τὸν ἐκεῖσε πρακτορεύοντα ἢ ἄλλον τινὰ τὸν ἐξ ὁρισμοῦ ἡμετέρου δημοσίαν τινὰ δουλείαν ποιοῦντα, ἀλλ' ἐκεῖσε ἀποπέμπεσθαι τὰ τοῦ τετελευτηκότος Ῥαουσαίου πράγματα, ἐν οἷς ἐκεῖνος διάθηται, εἰ δὲ καὶ ἀδιάθετος τελευτήσῃ, εἰς τοὺς συγγενεῖς καὶ κληρονόμους αὐτοῦ· καὶ οὐ μεθέξει τις τῶν δημοσιολατρῶν τῶν κατὰ χώραν λέγω ἐνεργούντων ἅψασθαι ἀπὸ τῶν πραγμάτων ἐκείνου τὸ οἱονοῦν, εἰ μή τις βουληθείη δικαίαν ἐπισπάσασθαι τὴν παρ' ἡμῶν ἀγανάκτησιν. καὶ ταῦτα μὲν οὕτως· πλεῖον δὲ τῆς πατρικῆς εὐεργεσίας ἧς εὕραντο οἱ Ῥαουσαῖοι, ἐπιχορηγοῦμεν αὐτοῖς ἡμεῖς τὸ περιπατεῖν εἰς πᾶσαν τὴν ἡμετέραν ἐπικράτειαν καὶ πραγματεύεσθαι, μηδὲν ἄδικον ὑφορωμένους πραχθῆναι ἐπ' αὐτοῖς ἀπὸ τῶν ἡμετέρων ἀνθρώ-



ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ... ΙΩΑΝΝΙΝΑ 2006

πων τῶν κατὰ χώραν ἐνεργούντων δι' ὁρισμοῦ ἡμετέρου, εἰς τοῦτο δὲ μόνον ἕλκεσθαι αὐτοὺς εἰς τὸ ἀπὸ δικαίου κουμέρκιον. διὰ τοῦτο γὰρ ἀπελύθη αὐτοῖς καὶ ὁ παρὼν ἡμέτερος ὁρισμὸς μηνὶ ὀκτωβρίῳ ἰνδικτιῶνος ια' †.

† Μιχαὴλ ὁ Δούκας †.

## XVI. (6758—1250 mense februario).

*Imperator Fridericus II. rogat Michaëlem, Epiri despotam, ut auxiliariis copiis ab Ioanne Batatza in Italiam mittendis liberum transitum per Epirum concedat.*

Τῷ κυρίῳ [Μιχαὴλ Ἀγγέλῳ Κομνηνῷ τῷ Δούκᾳ].

Τὴν εἰλικρινεστάτην ἀγάπην σου διὰ τῶν παρόντων εἰδέναι βουλόμεθα, ὅτι εἰς τέλειον τῶν ἀντικειμένων ἡμῖν ἀφανισμὸν καὶ συντριβὴν ὁλοτελῆ τῶν παπαδικῇ κακογνωμίᾳ ἀνθισταμένων ἡμῖν, ἵνα ἡ αἰθριότης ἡμῶν τῶν πολεμικῶν πόνων ἄνεσιν λάβοι, καὶ τὸ ὑπήκοον ἅπαν αὐτῆς ἐν εἰρήνῃ διάγοιτο, συχνὴν χεῖρα ὁπλιτῶν πανταχόθεν οὐ μόνον ἐκ τῶν ὑπηκόων ἐπαρχιῶν καὶ πόλεων τῆς βασιλείας ἡμῶν, ἀλλὰ καὶ ἀπὸ τῶν ἀγαπώντων τὸ ἡμέτερον ὄνομα φίλων καὶ συγγενῶν ἐκ διαφόρων ἐθνῶν κατὰ τὸ ἐλευσόμενον πρότερον ἔαρ συναθροῖσαι ἡρετισάμεθα· οὐχ ὡς τῶν ἡμετέρων δυνάμεων ἔν τε πλήθει καὶ δυνάμει στρατιωτῶν καὶ πεζῶν πρὸς τελείαν τῶν ἐχθρῶν ἡμῶν συντριβὴν ἑτέρων ἐπικουρίας δεουσῶν, οὐδ' ὡς τῶν θησαυρῶν ἡμῶν μείωσιν ἐχόντων τοῦ μὴ ἀφθόνως ἐποχετεύειν τῷ στρατοπέδῳ ἡμῶν τὰ χρήσιμα, ἀλλ' ἵνα μάθωσιν οἱ ἀντίθετοι, πηλίκην ἡ βασιλεία ἡμῶν κέκτηται δύναμιν, οὐ μόνον ἀπὸ τοῦ τεταγμένου λαοῦ αὐτῆς, ἀλλὰ καὶ ἀπὸ τῶν ἄλλοθι δεσποζόντων καὶ κελευόντων γνησίων φίλων καὶ συγγενῶν ἡμῶν· ἡμεῖς γὰρ οὐ μόνον διεκδικεῖν τὸ ἡμέτερον δίκαιον ἐφιέμεθα, ἀλλὰ καὶ [τὸ] τῶν γειτνιαζόντων φίλων ἡμῶν καὶ ἀγαπητῶν, οὓς ἡ ἐν Χριστῷ καθαρὰ καὶ εἰλικρινὴς ἀγάπη συνῆψεν εἰς ἕν, καὶ κατ' ἐξαίρετον τοὺς Γραικούς, συγγενεῖς καὶ φίλους ἡμῶν, περὶ ὧν ὁ λεγόμενος ἄρτι πάπας, δι' ἣν ἔχομεν σχέσιν καὶ ἀγάπην μετ' αὐτῶν, χριστιανικωτάτων ὄντων καὶ εὐσεβέστατα πρὸς τὴν τοῦ Χριστοῦ πίστιν διακειμένων, τὴν ἀκόλαστον αὐτοῦ γλῶσσαν ἐκίνησε καθ' ἡμῶν, ἀσεβεστάτους τοὺς εὐσεβεστάτους Γραικοὺς καὶ αἱρετικοὺς τοὺς ὀρθοδο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. Γ. Λάππας Κ. τ. Γ. ΙΩΑΝΝΙΝΑ 2006

ξοτάτους καλῶν. πρὸς γοῦν τὴν τοιαύτην ἡμῶν προθυμοτάτην ἐπιχείρησιν καὶ ὁ περιπόθητος γαμβρὸς ἡμῶν, ὁ βασιλεὺς Ἰωάννης, εὐδιάθετον ἀγάπην, ἣν πρὸς ἡμᾶς ἔχει, ἀδιασπάστως ἐνδεῖξαι βουλόμενος, χεῖρα τινὰ τῶν ὑπ᾽ αὐτοῦ τοξοτῶν καὶ ὁπλιτῶν πρὸς ἡμᾶς ἀποστέλλει. καὶ ἐπεὶ διὰ τῆς χώρας σου οἱ ἀποσταλέντες πρὸς ἡμᾶς ἄνθρωποι μέλλουσι διελθεῖν, παρακαλοῦμεν τὴν καθαρὰν ἀγάπην σου, ἣν ἀθόλωτον καὶ ἀπαράσαλευτον διαφυλάττειν ἀεὶ βουλόμεθα, ἵνα παραχωρήσῃς αὐτοὺς διὰ τῆς χώρας σου σώους, ἀνενοχλήτους καὶ ἀζημίους διελθεῖν ἄχρι τοῦ Δυρραχίου, δοὺς αὐτοῖς βουλὴν καὶ βοήθειαν διὰ τὴν ἡμετέραν ἀγάπην, τοῦ διασωθῆναι αὐτοὺς διὰ τάχους. ἰδοὺ γὰρ ξύλα ἱκανὰ ἀποστέλλομεν πρὸς τὸ Δυρράχιον διὰ τὸ περᾶσαι αὐτοὺς πρὸς τὸ Βρενδίσιον.

*E codice biblioth. Laurentianae Florent. cum reliquis imperatoris Friderici II. litteris graecis descripsit et edidit G. Wolff: Vier griechische Briefe K. Friedrichs des zweiten. Berlin 1855.*

## XVII. (6759—1250) mense septembri.

*Imperator Fridericus II. Ioannem Ducam Batatzam certiorem facit de rebus gestis in Italia.*

Φρεδερίκος, θεοῦ χάριτι Ῥωμαίων βασιλεὺς ἀειαύγουστος, Ἱεροσολύμων καὶ Σικελίας ῥήξ, Ἰωάννῃ, τῷ ἐπιφανεστάτῳ Γραικῶν βασιλεῖ, τῷ Δούκᾳ, περιποθήτῳ γαμβρῷ αὐτοῦ.

Χαῖρε εἰς Χριστόν.

Μετὰ καθαρᾶς ἀγάπης καὶ εἰλικρινοῦς διαθέσεως, ὥσπερ ἐκ διαδοχῆς ἐκ τῆς τοῦ κυρίου δεξιᾶς τὰς εὐεργεσίας λαμβάνομεν, καὶ τὸ τῆς βασιλείας κράτος ἡμῶν τῇ παντοκρατορικῇ δυνάμει αὐτοῦ φιλευσπλάγχνως καθ᾽ ἑκάστην ὑπερυψοῦται, οὕτω καὶ τῇ γνησίᾳ ἀγάπῃ τῆς βασιλείας σου συνεχεστέροις γράμμασι καὶ μηνυταῖς τὸ τῆς βασιλείας ἡμῶν εὐτύχημα καὶ τὸ κατὰ τῶν ἐχθρῶν αὐτῆς τρόπαιον νυνὶ θεόθεν ἀπροσδοκήτως τετελεσιουργουμένον γνωρίσαι προθύμως αἱρούμεθα· ἄρτι γὰρ Οὐμβέρτου τοῦ εὐγενοῦς μαρκεσίου Παλαβιτζίνου, πιστοῦ ἡμῶν, ὅντινα κεφαλὴν ἐπὶ τοῦ εὐτυχεστάτου φοσσάτου ἡμῶν καὶ τοῦ περιφήμου κάστρου ἡμῶν Κρεμόνας καὶ τῶν

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Γ.Δ.Υ.Σ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πέριξ χωρῶν κατεστήσαμεν, ἐξ ὁρισμῶν τῆς ἡμῶν αἰθριότητος συχνὴν χεῖρα στρατιωτῶν καὶ πεζῶν συναθροίσαντος καὶ πρὸς ἐπικουρίαν αὐτοῦ τινὰς τῶν πιστῶν ἡμῶν τῆς Ἰταλίας συγκαλεσαμένου, τουτέστι στρατιὰν οὐκ ὀλίγην τῶν ἀνδρικωτάτων καβαλλαρίων τῆς Παπίας, τῶν καρτερικωτάτων Περγαμηνῶν, τῶν εὐτόλμων τῆς Λαούδης, τῶν θαρσικωτάτων Ἀλαμάνων, τῶν εὐπροθύμων τῆς Πάρμης, τῶν ὅσοι ἐκτὸς τοῦ κάστρου αὐτοῦ ἐν τῇ πίστει τῆς βασιλείας [ἡμῶν παρέμειναν . . . οἱ διώκοντες, εἰ μὴ οἱ] ἐντὸς τῆς Πάρμης τὰς γεφύρας κατέκοψαν, τάχα ἂν ὁμοῦ ἐντὸς τοῦ κάστρου Πάρμης ἐφέροντο. τὸν ἐπινίκιον οὖν οἱ ἡμέτεροι ᾄσαντες αἶνον, καὶ τὸ ἀνακλητικὸν σαλπίσαντες, ὥσπερ εἴθιστο, καὶ πρὸς τὰς πύλας αὐτὰς τῆς Πάρμης τὰς τένδας στήσαντες, οὐκ ἀναχωρήσειν ἀπὸ τοῦ παρακαθισμοῦ ταύτης χωρὶς ὁρισμοῦ ὑπεσχέθησαν ἄχρι τοῦ, οὗ πυρὶ καὶ σιδήρῳ παντελῶς ἀφανίσωσιν, ἢ βίᾳ αὐτὴν ἑλκύσωσι πρὸς τὸν ἡμέτερον ὁρισμόν, ὡς αἰχμαλώτους καὶ τεθνηκότας τοὺς ταύτης οἰκήτορας ἔχοντες.

Ταῦτα μὲν ἐγένοντο ἐν τῇ ιη' τοῦ παρελθόντος αὐγούστου, ἰνδικτιῶνι η'. κατὰ δὲ τὴν εἰκοστὴν ἡμέραν τοῦ αὐτοῦ μηνὸς ὁ κόντος Γαλτέριος δὲ Μουνόπολι, πιστὸς καὶ οἰκεῖος ἡμῶν, ὅς ἐστι κεφαλὴ τοῦ φοσσάτου ἡμῶν ἐν τῇ Μάρκᾳ, παρακαθίσας κάστρον, λεγόμενον Κίγγουλον, ἐν ᾧ ὁ καρδινάλιος Πέτρος Κάποτζος ἦν, καὶ κρούσας πόλεμον τὸ κάστρον αὐτὸ παρέλαβε. διὰ νυκτὸς δὲ ὁ καρδινάλιος δίκην ῥακενδύτου πτωχοῦ τὰς χεῖρας αὐτῶν ἐξέφυγεν. καὶ δὴ ὅλη ἡ Μάρκα, τὸ Δουκάτον καὶ ἡ Ῥωμανιόλα εἰς ὁρισμὸν τῆς βασιλείας ἡμῶν ἐστράφησαν. κατὰ δὲ τὴν ἡμέραν ταύτην, ᾗ οἱ [πιστοὶ] ἡμῶν καρτεροῦσιν, ὥρισεν ἡ αἰθριότης ἡμῶν πάντας αὐτοὺς εἰς ἀφανισμὸν τῆς Πάρμης ἀπελθεῖν, ὥστε τὴν ἀγέρωχον αὐτῶν ὀφρὺν καὶ τὸ τῆς γνώμης αὐτῶν αὔθαδες εἰς τέλος καταβαλεῖν. καὶ δὴ τῶν ῥηθέντων πιστῶν ἡμῶν τὸν Τάραν διαπερασάντων ποταμὸν καὶ πλησίον τῆς Πάρμης τὰς σκηνὰς αὐτῶν στῆσαι βουλομένων, οἱ ἀναιδεῖς καὶ ὑψαύχενες Παρμεσάνοι τῷ τῆς ἀπιστίας καὶ ὑπερηφανίας αὐτῶν ἀνέμῳ ὁρμῇ τε ἀτάκτῳ φερόμενοι, τὴν ἅμαξαν αὐτήν, ἣν ἰταλικῶς καρρότζιον καλοῦσι, πανστρατεὶ τῆς Πάρμης ἐξέβαλον, καὶ κατὰ τοῦ εὐτυχεστάτου φοσσάτου ἡμῶν θηριωδῶς τε καὶ κακοδαιμόνως ὥρμησαν. οἱ γοῦν ἡμέτεροι πιστοί, ἐν

δυνάμει Χριστοῦ τοῦ θεοῦ ἡμῶν, τοῦ τὴν ἡμετέραν διέποντος βασιλείαν, κινούμενοι, καθιδρομένοι δὲ τῷ διαπύρῳ ζήλῳ τῆς πίστεως ἡμῶν, βασιλικῶς τε καὶ στρατιωτικῶς τὰς φάλαγγας καὶ λοχαγωγοὺς διατάξαντες, προθυμίαν δὲ λαβόντες ἐξ ὕψους, ὡς ὑπὲρ τοῦ δικαίου καὶ [τῶν] πιστῶν τῆς βασιλείας ἡμῶν κατὰ τῶν ἀδίκων καὶ ἀπίστων ἦν ὁ πόλεμος, ἄραντες τὰ τροπαιοφόρα καὶ εὐτυχῆ σκῆπτρα τῆς βασιλείας ἡμῶν καὶ τὸν τοῦ ὀνόματος ἡμῶν εὐφημισμὸν ἀλαλάξαντες, κατὰ τῶν ἀπίστων οἱ πιστοὶ εὐτάκτως καὶ μεγαλοψύχως ἐφέροντο. ἀγχίμαχοι δὲ γεγονότες καὶ ἐπὶ πολλαῖς ταῖς ὥραις ἀνδρικώτατα καὶ καρτερικώτατα πολεμοῦντες, φέρειν μὴ σθένοντες οἱ ἀντίπαλοι τὰς βαρείας ἐπιθέσεις καὶ πολεμικὰς τῶν γενναίων στρατιωτῶν ἡμῶν παλάμας, τάς τε θανασίμους τρώσεις καὶ τὰς περικρότους πληγάς, πρὸς φυγὴν οἱ δείλαιοι ἐτράπησαν. τὸ δὲ καρρότζιον αὐτῶν τῆς ἀνάγκης κατεπειγούσης ἐάσαντες τὴν ἑαυτοῦ ἕκαστος σωτηρίαν ἐπολυπραγμονεῖτο καὶ εὐτυχίαν τὴν ἀειφυγίαν ἐνόμιζε. κἀντεῦθεν τίς ἂν ἐξαγγέλλοι τὴν τῶν σφαγιασθέντων αὐτόθι Παρμεσάνων πληθύν, τὸν τῶν πληττομένων καὶ πατουμένων ἀριθμὸν καὶ τὴν τῶν μεληδὸν κατακοπέντων ὑπὸ τῶν Κρεμονισίων ποσότητα διὰ τὸ μανικῶς αὐτοὺς διακεῖσθαι κατ' αὐτῶν; ὅσοι δὲ εὑρέθησαν ἐν τῷ κάμπῳ τῶν σφαγιασθέντων καὶ ἀριθμεῖσθαι δυναμένων, χωρὶς τῶν ἐν τῷ ποταμῷ πνιγέντων, ὑπῆρχον χιλιάδες δύο καὶ ἐπέκεινα. [ὅσους] δὲ τῶν μεγαλοτέρων αὐτῶν καὶ τῆς κάτω τύχης ἐζώγρησαν [καὶ] τῇ ἡμετέρᾳ παρέδωκαν φυλακῇ, τὸν ἀριθμόν εἰσι χίλιοι καὶ διακόσιοι. καὶ ἐν μείονι, ἢ ταῦτα ἐγράφοντο, οἱ ἀποκρισιάριοι τῶν ἐναπομεινάντων λειψάνων τοῦ Δουκάτου καὶ [τῆς] Ῥωμανιόλης πρὸς τοὺς πόδας ἡμῶν παρεγένοντο, αἰτοῦντες συμπάθειαν καὶ τὴν χάριν ἡμῶν. κατὰ δὲ τὴν πρώτην τοῦ παρόντος σεπτεμβρίου δώδεκα ἡμέτερα κάτεργα, ἃ πρὸς τὴν Σαόνα ἀπεστείλαμεν εἰς φύλαξιν αὐτῆς, ἐν οἷς Πέτρος τῆς Λείριος τῆς Γαέτας, ὁ ἡμέτερος πιστός, δεκαὲξ πλοῖα Γενουβισίων τῶν ἀπίστων ἡμῶν ἐπίασαν, καὶ τοὺς ἐν αὐτοῖς ἡ ἡμετέρα κατέχει φυλακή. ταῦτα πάντα τῇ γνησίᾳ ἀγάπῃ τῆς βασιλείας σου γνωρίζομεν εἰς χαράν. ἐφεπομένης δὲ τῆς τοῦ θεοῦ βοηθείας, χαριέστερα τῇ βασιλείᾳ σου γράψομεν, ἐνηδομένῃ τοῖς ἡμῶν κατορθώμασιν.

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΣΤΗΜΟΝΙΚΟΣ ΥΠΕΥΘΥΝΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XVIII. (6759—1250).

*Imperator Fridericus II. scribit Ioanni Batatzae graviter incusans pontificem romanum.*

Φρεδερίκος, θεοῦ χάριτι καὶ τὰ ἑξῆς, Ἰωάννῃ τῷ ἐπιφανεστάτῳ Γραικῶν βασιλεῖ καὶ τὰ ἑξῆς.

Τὰς ἀποκομισθείσας γραφὰς τῇ ἡμῶν αἰθριότητι ἐκ μέρους τῆς βασιλείας σου μετὰ τοῦ Παιδρύτου, παιδοπούλου αὐτῆς, μετὰ πολλῆς εὐθυμίας ἐδεξάμεθα· θυμήρη γὰρ ἐν αὐταῖς περιείχετο καὶ τῇ ἡμετέρᾳ αἰθριότητι λίαν ἐπιτερπῆ περὶ τῆς τῶν σῶν ὑγειῶν καὶ εὐοδώσεων καὶ περὶ τῶν, ὅσα περὶ τῆς νήσου Ῥόδου μετ' εὐτυχίας πρὸς τὸ παρὸν ἐτελέσθησαν. καὶ ἡμεῖς ἀμοιβαίοις κομμενταρίοις τῇ καθαρᾷ ἀγάπῃ τῆς βασιλείας σου μηνύομεν, ὅτι τῇ ἄνωθεν προμηθίᾳ κρατυνόμενοι καὶ ὁδηγούμενοι ὑγιαίνομεν, εὐσταθοῦμεν, νικῶμεν τοὺς ἐχθροὺς ἡμῶν καθ' ἑκάστην, καὶ καθ' ἡμᾶς πάντα κατὰ νοῦν εὐοδοῦνται καὶ διιθύνονται. περὶ δὲ χρείαν τὴν ἐν τοῖς γράμμασι τῆς βασιλείας σου, πῶς ὁ πάπας ἀδελφοὺς ἐλαχίστους καὶ κήρυκας πρὸς τὴν βασιλείαν σου ἀπέστειλεν ἐπὶ τῷ διαλεχθῆναι μετὰ τῶν ἀρχιερέων τῆς ἐκκλησίας τῆς βασιλείας σου; ὅπερ οὐ μόνον τῇ ἡμῶν αἰθριότητι, ἀλλὰ καὶ τοῖς ἔτι νηπίοις τὴν γνώμην τερατῶδες δοκεῖ καὶ παράδοξον. πῶς οὗτος ὁ λεγόμενος μέγας ἀρχιερεὺς [ἀρχ]ιερέων, πάντων ἐνώπιον καθ' ἑκάστην τὴν βασιλείαν σου ὀνομαστὶ καὶ πάντας τοὺς ὑπὸ σὲ Ῥωμαίους ἀφορισμῷ καθυποβάλλων, αἱρετικοὺς τοὺς ὀρθοδοξοτάτους Ῥωμαίους, ἐξ ὧν ἡ πίστις τῶν χριστιανῶν εἰς τὰ τῆς οἰκουμένης ἐξῆλθε πέρατα, ἀναισχύντως καλῶν, τοιούτους ἄνδρας πνευματικοὺς κατ' αὐτὸν πρὸς τὴν βασιλείαν σου ἀποστέλλειν οὐκ ἐρυθρίασε; πῶς ὁ τοῦ σχίσματος αἴτιος δολερῶς ὑπεισέρχεται, ἵνα τοῖς ἀναιτίοις εἰσφέρῃ ἀντέγκλημα; πῶς ὁ ἁγιωσύνην καθυποκρινόμενος διὰ τοὺς ὑπηρέτας καὶ κήρυκας τοῦ οἰκείου θελήματος ἀποστάτας τῆς πίστεως καὶ σκανδαλοποιοὺς τοὺς πρόσθεν καὶ ἄνωθεν ἀπ' ἀρχῆς πλουτοῦντας τὴν εὐσέβειαν καὶ τὴν εἰρήνην εὐαγγελιζομένους τοῖς πέρασι τοῖς ὑπ' αὐτὸν Λατίνοις ἀεὶ κηρύττειν οὐ παύεται; πῶς τὴν ἔμφυτον ἔκπαλαι δαιμονικῇ ἐπιρροίᾳ τοῖς τῆς Ῥώμης ἀρχιερεῦσι κατὰ τῶν Ῥωμαίων κακίαν, ἣν οὐκ ὀλίγοι μεγάλοι πνευματικοὶ

ἀρχιερεῖς καὶ τοῦ Χριστοῦ θεράποντες λόγῳ καὶ ἔργῳ καὶ διηνεκεῖ εὐχῇ τῷ μακρῷ παρελθόντι χρόνῳ ἐκριζῶσαι οὐκ ἴσχυσαν, — οὗτος οὖν, παντοίοις εἴδεσι ταύτην ἀνανεώσας, παιγνιδίοις λόγοις καὶ ἁπλῶν ἀνθρώπων δολεραῖς εἰσηγήσεσιν ἐν ῥοπῇ καιροῦ διορθῶσαι καθυπισχνεῖται; οὐχ οὗτός ἐστιν, ὅς τὴν ἡμετέραν αἰθριότητα διὰ τὸ συνοικέσιον, ὃ ἐγένετο μετὰ τῆς βασιλείας σου καὶ τῆς γλυκυτάτης ἡμῶν θυγατρός, ἐννόμως τε καὶ κανονικῶς, παραλόγῳ φερόμενος ὁρμῇ, δημοσίως ἀφώρισεν, λέγων ἐνώπιον τῆς παρ' αὐτῷ συναθροισθείσης συνόδου, ὅτι μετὰ τῆς αἱρετικῆς συνοικέσεως ἐτρακταΐσαμεν; πόθεν οὖν οὗτοι οἱ ἡμέτεροι ἀρχιερεῖς παρέλαβον ὅπλα φέρειν κατὰ χριστιανῶν, καὶ ἀντὶ τῆς ἱερᾶς διπλοΐδος ἐνδύεσθαι θώρακα, ἀντὶ δὲ βακτηρίας ποιμαντικῆς λόγχας καὶ ἀντὶ καλάμου τόξα φέρειν καὶ πικροφόρους διστούς, κατὰ πάρεργον τὸ σωτήριον ὅπλον τοῦ σταυροῦ κατέχοντες; ποία σύνοδος οἰκουμενικὴ ἢ τοπικὴ τοῦτο παρέδωκε; ποῖος σύλλογος θεοφόρων ἀνδρῶν ἐπεκύρωσεν ἢ ἐπεσφράγισεν;

Εἰ δέ τις ταῦτα φαίνεται ἀπιστῶν, ἰδέτω τοὺς ἁγίους καρδηναλίους καὶ ἀρχιερεῖς ἐν τῇ καθ' ἡμᾶς ταύτῃ οἰκουμένῃ ὅπλα φέροντας στρατιωτικὰ ἤτοι πολεμικά, ὧν ὁ μὲν δούξ, ἄλλος μαρκεσάνος, ἕτερος δὲ κόντος, καθ' ἣν ἔλαχε στρατοπεδεύειν ἐπαρχίαν, φημίζεται. καὶ ὁ μὲν διατάττει τὰς φάλαγγας, ἄλλος λοχαγωγεῖ, ἕτερος δὲ διεγείρει τὸν πόλεμον, στρατοπεδάρχαι καὶ σιγνοφόροι τινὲς καὶ οἱ βιπεννιφόροι καὶ περτικαφόροι. ἆρα πνευματικὰ ταῦτα καὶ ἀρχιερατικά, εἰρήνης ταῦτα σύμβολα καὶ προοίμια; τοιαῦτα οἱ τοῦ Χριστοῦ μαθηταὶ διετάξαντο; τίς οὕτως ἁπλοῦς καὶ ἀσύνετος, ὃς τὴν τοιαύτην πονηρίαν οὐκ ἐννοεῖ, αἰσχύνης ἱερεῖς τούτους καλῶν, ἀπατεῶνας καὶ ψευδοκήρυκας, ἐν πνεύματι Ἠλιοῦ πυρίκαυτον τὴν πλευρὰν αὐτῶν ποιούμενος, καὶ τὴν ὑδαρώδη γνώμην ταῖς στοιβασθείσαις σχίδαξιν ἐκτεφρούμενος; ὢ τῆς ἀνοίας τῶν πολλῶν, οἳ αὐθωρεὶ καὶ αὐτοσχέδιον τὴν ἁγιωσύνην αὐτοῖς διαγράφουσι καὶ πλάττουσιν ἁγίους αὐθήμερον ὡς ὁ μῦθος τοὺς Γίγαντας. τοιοῦτοι σήμερον ποιμένες ἐν Ἰσραήλ, καὶ τῆς ἐκκλησίας Χριστοῦ οὐκ ἀρχιερεῖς, ἀλλὰ λύκοι ἅρπαγες, θῆρες ἄγριοι, κατεσθίοντες τὸν λαὸν τοῦ Χριστοῦ. ὤ, πόσοι ἐν Ἀλαμανίᾳ, ἐν Ἰταλίᾳ καὶ ταῖς πέριξ χώραις ἐν ταῖς ἡμέραις ταύταις ἐσφάγησαν, αἰχμαλωτίσθησαν, ἐφονεύθησαν, ἐφυγαδεύθησαν, συνεργούντων αὐτῶν, ὧν τὸ αἷμα ἐκ χειρὸς αὐτῶν κατὰ τὸ προφητικὸν ἐκζητήσει κύριος.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ Δ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

εἰς τί δὲ κατήντησεν ἡ πονηρία αὐτῶν, ἢ ὅτι ἐματαιώθησαν ἐν τῇ πανουργίᾳ αὐτῶν; ἐφανερώθη ἡ ἀνομία αὐτῶν, καὶ ὁ μεγάλα φυσῶν, ἐν γωνίᾳ νονὶ ὑπ' αἰσχύνης κρυπτόμενος, ἐλέγχεται παρὰ πάντων ὡς ψεύδους πατήρ. ἐξέκλιναν πολλοὶ ἀπὸ τῆς διδαχῆς αὐτοῦ, καὶ οἱ ἄχρι τοῦ νῦν μετ' αὐτοῦ νῦν δρῶνται κατ' αὐτοῦ. πόσαι γὰρ μυριάδες δι' αὐτοῦ ἀπώλοντο, ὧν τὰ λείψανα πρὸ μικροῦ Αἴγυπτος ἔχει παρὰ τὰς τοῦ Νείλου ῥοάς. οὐκ ἀγνοεῖ καὶ τοῦτο ἡ βασιλεία σου, πῶς μεθ' ὅρκου τὸν ἡμέτερον ἐβεβαίου θάνατον, ἵνα τοὺς ἡμετέρους πιστοὺς ἀποστατήσῃ τῆς πίστεως ἡμῶν· πῶς τοὺς δούλους τῶν δούλων τῆς βασιλείας ἡμῶν ἐν τῇ Ἀλαμανίᾳ δυναστικῶς τε καὶ θωπευτικῶς ἠνάγκασεν ἆραι πτέρνας καθ' ἡμῶν. ἀλλ' ἕως τὰ ἱερὰ σκεύη καὶ πρόσοδοι, ἃς ἀπὸ τῆς ἐκκλησίας ἀφεῖλον βιαστικῶς, ὑπούργησαν ἐν ταῖς ἐξόδοις αὐτῶν, ὡς ἐπὶ σκηνῆς ἡγοῦντο τὰ πράγματα, καὶ ὕφαλος ἦν ἡ πετρώδης γνώμη αὐτῶν· ἀφ' οὗ δὲ πάντες κατηράχθησαν, ὁ μὲν ἔνθεν, ὁ δ' ἐκεῖθεν φυγὰς ἐγένετο, τὴν τῆς ἡμετέρας δεξιᾶς ἀπειλὴν ἐκδειματούμενοι. προσεπὶ τούτοις τὴν ἡμετέραν οὐκ ἀποδιδράσκει διάνοιαν, ὃ διὰ τῶν σῶν γραμμάτων ἡμῖν ἐγνώρισας, τὸ οὑτωσὶ ἔχον. οὗτοι δὲ οἱ φρέριοι, ὅτε ἐξ ἀρχῆς κατέλυον ἐνταυθί, ἄλλως ἐφαίνοντο διακεῖσθαι πρὸς τὴν βασιλείαν σου, καὶ ἄλλως διάκεινται νῦν, δι' ἃς ἤκουσαν διαφόρους εὐλόγους συντυχίας ὑπὲρ τῆς βασιλείας σου παρ' ἡμῶν. ἐκ τούτων ἡ βασιλεία σου τὴν ἐνδομυχοῦσαν αὐτοῖς κακίαν ἐννοῆσαι δύναται, ὡς οὐ διὰ τὴν πίστιν καὶ συμβόλου προσθήκην αὐτόθι παρεγένοντο, ἀλλ' ἵνα κατὰ τὸ εἰωθὸς ζιζάνια σπείρωσιν ἀναμεταξὺ πατρὸς καὶ υἱοῦ. ἀφ' οὗ δὲ εὗρον τὴν ἀγάπην τῆς βασιλείας σου σταθηρὰν καὶ ἀδιάσειστον καὶ τῆς πατρικῆς ἀγάπης ἀχώριστον, οὐκέτι πρόσω χωρεῖν ἐτόλμησαν, εἰς διάλεξιν τοὺς λόγους μετατρέποντες ἀδιόριστον, ἵν' ἐν τούτῳ ἐπικαλυφθῇ ἡ κακία αὐτῶν· ἐκ γὰρ τῶν οὕτω παρ' αὐτῶν προτεθέντων πᾶς τις συνάγειν καὶ συμπεραίνειν δύναται, ὡς οὐκ εὐθεῖαι αἱ τρίβοι αὐτῶν, καὶ ῥυπαροὶ οἱ πόδες αὐτῶν, πρὸς τὸ τοῦ εὐαγγελίου κήρυγμα.

Βούλεται δὲ καὶ ἡ αἰθριότης ἡμῶν πατρικῷ τρόπῳ τὴν υἱικήν σου ἐλέγχειν διάθεσιν, πῶς ἄνευ πατρικοῦ βουλεύματος ἠθέλησας ἀποκρισαρίους πρὸς τὸν πάπαν στέλλειν. ἔδει τὴν ἀγάπην σου τὴν ἡμετέραν πρώτως ἑλεῖν βουλήν. πεπειραμένοι γὰρ τῶν ὧδέ ἐσμεν, καὶ τῶν τοιούτων ἡ κακία ἡμᾶς οὐ λανθάνει, ὡς καὶ ἡμεῖς ἐκ τῶν φοο-

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2009

μένων πολλάκις ὑποθέσεων τῶν αὐτόθεν μερῶν ἄνευ τῆς σῆς βουλῆς πράττειν τι ἢ ἐπιχειρῆσαι οὐ βουλόμεθα, ὡς τὰ γειτνιάζοντά σοι μέρη γνωριμώτερα τῇ βασιλείᾳ σου ἤπερ ἡμῖν· ὅμως ἅπερ ἡμῖν ἡ βασιλεία σου ἔγραφεν, ἀποδεχόμεθα ὡς ἀνατεθέντα τῇ ἡμετέρᾳ θελήσει τε καὶ διακρίσει. καὶ ἰδοὺ κάτεργα χωρὶς ὑπερθέσεως ἓξ ἄλλα, πλοῖα ἱκανά, ἀπὸ τοῦ Βρεντησίου πρὸς τὸ Δυρράχιον ἀποστέλλονται πρὸς τὴν τῶν ἀποκρισιαρίων τῆς βασιλείας σου διαπλώισιν καὶ περαίωσιν, καὶ ἄνθρωπον αὐτοῖς ἀπὸ τῆς ἡμετέρας αὐλῆς ἀπεστείλαμεν πρὸς τὸ ἀνασῶσαι αὐτοὺς πρὸς ἡμᾶς καὶ τοῖς φρερίοις εἰπεῖν, ἐπὶ τοσοῦτον ἀργῆσαι ἐν τῷ Δυρραχίῳ, ἕως οὗ ἡ αἰθριότης ἡμῶν συντύχῃ τοῖς ἀποκρισιαρίοις τῆς βασιλείας σου. καὶ διὰ τάχους ὕστερον σταλήσονται τὰ πλοῖα διὰ τὸ περᾶσαι αὐτοὺς ὡς ἡμᾶς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## XIX. (6759—1250 mense octobri).

*Imperator Fridericus II. iterum Ioanni Batatzae nunciat res gestas in Italia.*

Φρεδερῖκος βασιλεὺς Ἰωάννῃ, τῷ ἐπιφανεστάτῳ Γραικῶν βασιλεῖ.

Προσθεῖναι γράμματα γράμμασι πολλὴν ἐκ διαδοχῆς τὴν ἡδονὴν κομίζοντα οὐ μόνον τοῖς κατὰ συγγένειαν οἰκειωμένοις καὶ καθαρᾷ ἀγάπῃ συνδεδεμένοις, ἀλλὰ καὶ τοῖς τυχοῦσι φίλοις πλείστην ἐκφέρει τὴν εὐθυμίαν. διὸ τῇ καθαρᾷ ἀγάπῃ τῆς βασιλείας σου ἐπὶ τοῖς μικρῷ πρότερον μηνυθεῖσιν ἡμῶν προτερήμασι καὶ τοῦτο αὐτὸ ὡς ἐπίλογον εἰς τέρψιν αὐτῆς γράφειν οὐκ ἀναδυόμεθα· συγχαίρειν γὰρ ἴσμεν τὴν βασιλείαν σου ἐν πάσαις ταῖς εὐτυχίαις ἡμῶν καὶ τοῖς προτερήμασιν ἡμῶν συνευφραίνεσθαι. γνωρίζομεν τοίνυν αὐτῇ, ὅτι οἱ τῆς Μάρκας καὶ Ῥωμανιόλας πιστοὶ ἡμῶν, τοῦ κρείττονος καὶ ἐπιτερπεστέρου μέρους τῆς Ἰταλίας ὄντος, μαθόντες τὴν φανερὰν ἀπάτην καὶ τὰς δολοπλοκίας, ἃς οἱ δοκοῦντες προεστάναι τῆς ἐκκλησίας ἔρραπτον καθ' ἡμῶν, καὶ τὰς ἐπιορκίας, ἃς ἐποίουν καθ' ἑκάστην, τὸν ἡμέτερον βεβαιούμενοι θάνατον καὶ τῆς ἡμετέρας εὐσταθείας καὶ εὐεξίας λαβόντες πληροφορίαν, ἅπαντες πρὸς τὴν ἡμετέραν ηὐτομόλησαν δυσπορίαν. τὸ κάστρον δὲ Φίρμου τῆς Μάρκας, ὅτι τῇ τοῦ τόπου ἰσχυρότητι καλὸν παπαδικῇ ἀτυχεστάτῃ καὶ ἀκεφάλῳ στρατιᾷ

Ε.Υ.Ε. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τοῖς ἡμετέροις ἐδόκει προστάγμασιν ἀνθεστάναι, μὴ φέρον τὴν μυριάριθμον πληθὺν τοῦ στρατοπέδου ἡμῶν, τὰς στρατιωτικάς τε φάλαγγας καὶ πεζικὰς τάξεις καὶ τοξοτῶν, ἄπειρα γένη ἑτερογλώσσων ἐθνῶν, ἐξ ὧν πᾶς ὁ χῶρος ἐκεῖνος ἐκατελάβετο καὶ τὸ κάστρον πέριξ ἐστενοχωρεῖτο, βίᾳ πεισθέντες οἱ ἐντός, τῆς ἀνάγκης κατεπειγούσης αὐτούς, αὐτὸ ἡμῖν παρέδωκαν, καὶ αὐτοὶ ὡς δέσμιοι πρὸς τοὺς περὶ ἡμᾶς παρεγένοντο. πόλεις, κάστρα, χῶροι καὶ ὀχυρώματα, ἃ παπαδικῇ δολιότητι ἀπὸ τῆς ἡμετέρας παρέκλιναν βασιλείας, τὸ ψεῦδος ἀφέντες τῇ ἀληθείᾳ προσέδραμον, ἡ ἄνω δ' Ἰταλία, ῥωννυμένη τῇ τῆς πίστεως ἡμῶν σταθηρότητι, ὅλη προαιρετικῶς τοῖς ἡμετέροις θεσπίσμασιν εἴκει. οἱ νεωτερίσαντες δὲ τῇ ὁμοίᾳ πλάνῃ ἐν τῇ Ἀλαμανίᾳ καὶ εἰς ἀδόκιμον νοῦν ἐκστήσαντες ἑαυτούς, ἐκ τόπου εἰς τόπον ὑπὸ τῆς δυνάμεως τοῦ περιποθήτου ἡμῶν υἱοῦ, τοῦ ῥηγὸς Κορράδου, πολεμικῶς διωκόμενοι οὐ φθάνουσι τόπον εὑρεῖν εἰς ἀποκρυβὴν αὐτῶν. οὕτω γοῦν ἡ ἐκ θεόθεν βασιλεία ἡμῶν, τῇ ἄνωθεν προμηθίᾳ κρατυνομένη, τὸ ὑπήκοον ἅπαν αὐτῆς ἐν εἰρήνῃ διέπει καὶ διιθύνει, ὃ οὕτως εἰς χαρὰν τῇ συγγενικῇ γνησίᾳ ἀγάπῃ τῆς βασιλείας σου διὰ τῶν παρόντων γνωρίζομεν.

## XX. 6773—1265. 8. iunii ind. VIII.

*Imperator Michaël Palaeologus foedus init cum Venetiarum duce Rainerio Zeno.*

† Ἐπεὶ ὁ εὐγενέστατος δοὺξ Βενετίας καὶ ἐξουσιαστὴς Χορβατίας, Δαλματίας καὶ τῶν ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ λοιπῶν χωρῶν τε καὶ νησίων κῦρις Ῥαινέριος Ντζένος, μετὰ καὶ τῆς μικρᾶς καὶ μεγάλης βουλῆς τοῦ κουμουνίου αὐτῶν καὶ συναινέσεως καὶ γνώμης τοῦ τοιούτου κουμουνίου παντὸς τῆς Βενετίας ἐκλεξάμενος ἀποκρισιαρίους τοὺς δύο εὐγενεῖς ἄνδρας καὶ πρωτοσυμβούλους, τόν τε σὺρ Ἰάκωβον Δελφῖνον καὶ τὸν σὺρ Ἰάκωβον Κονταρῖνον, ἀπέστειλεν εἰς τὴν βασιλείαν μου, ὥστε συντυχεῖν καὶ τρακταῖσαι περὶ ἀγάπης καὶ πληρῶσαι τούτους ταύτην μετὰ τῆς βασιλείας μου ὡς πληρεστάτους ἀποκρισιαρίους καὶ ἔχοντας τὴν ἐξουσίαν καὶ τὸ θέλημα ἅπαν τοῦ εὐγενεστάτου δουκὸς Βενετίας καὶ τοῦ κουμουνίου αὐτῶν ἀνατεθειμένον εἰς αὐτοὺς καὶ τὸ παρ' αὐτῶν γεγονὸς καὶ ἀφιερωθὲν μετὰ τῆς βασι-

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ... ΙΩΑΝΝΙΝΑ 2006

λείας μου στερχθῆναι καὶ βεβαιωθῆναι καὶ δεχθῆναι παρὰ τοῦ διαληφθέντος εὐγενεστάτου δουκὸς Βενετίας κυροῦ Ῥαινερίου Ντζένου καὶ τῆς μικρᾶς καὶ μεγάλης βουλῆς τῆς Βενετίας καὶ παντὸς τοῦ κουμουνίου αὐτῆς, καὶ πολλῶν συντυχιῶν γενομένων καὶ τρακταϊσμῶν μετ' αὐτῶν, συνῆλθεν ἡ βασιλεία μου καὶ συνεβιβάσθη εἰς τὸ ποιῆσαι καὶ πληρῶσαι τὴν μετ' αὐτῶν ἀγάπην ἐπὶ τοῖς καφαλαίοις τοῖς κατωτέρω ῥηθησομένοις, ὀμνύει ἡ βασιλεία μου εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, ἵνα ἀπὸ τῆς σήμερον ἡμέρας, ἥτις ἐστὶν ὀκτωκαιδεκάτη τοῦ παρόντος ἰουνίου μηνὸς τῆς ὀγδόης ἰνδικτιῶνος, ἔχῃ μετὰ τοῦ εὐγενεστάτου δουκὸς Βενετίας καὶ τῆς μικρᾶς καὶ μεγάλης βουλῆς αὐτῶν καὶ παντὸς τοῦ κουμουνίου τῆς Βενετίας ἀγάπην καθαρὰν καὶ ἀδολίευτον οὕτως·

Ἵνα μετὰ τὸ συνδεθῆναι αὐτοὺς εἰς ἀγάπην μετὰ τῆς βασιλείας μου οὐ μὴν ποιήσωσιν οὗτοι μετὰ ἄλλου γένους ἀγάπην κατὰ τῆς βασιλείας μου· ἀλλ' οὐδέ, ἐὰν ἐπιχειρήσῃ τις ἄλλος ἢ ἀπὸ τῶν νῦν κρατουμένων εἰς φιλίαν τῆς Βενετίας καὶ ὁρμήσῃ κατὰ χώρας τῆς βασιλείας μου, ἢ ὁ κύριος πάπας ἢ ὁ ῥὴξ Φραγγίας ἢ ὁ ῥὴξ Σικελίας ἢ ὁ ῥὴξ Καστέλλας ἢ ὁ ῥὴξ Ἰγκλινίας ἢ ὁ ῥὴξ Ῥαγούνας ἢ ὁ αὐτάδελφος τοῦ ῥηγὸς Φραγγίας, ὁ κόντος Κάρουλος, ἢ ἕτερος ῥὴξ καὶ κόντος ἢ τὸ κουμούνιον τῆς Γενούας ἢ τὸ κουμούνιον τῆς Πίσσης ἢ τὸ κουμούνιον τοῦ Ἀγκῶνος ἢ ἕτερον κουμούνιον ἢ ἁπλῶς εἰπεῖν χριστιανός τις ἢ ἀσεβὴς ἀλλογενὴς ὁρμήσῃ κατὰ χώρας τῆς βασιλείας μου ἢ κάστρου ἢ φοσσάτου αὐτῆς, ἵνα συνέλθῃ ὁ εὐγενέστατος δοὺξ Βενετίας μετ' αὐτῶν ἢ τὸ κουμούνιον τῆς Βενετίας ἢ τῶν καραβοκυρίων τις ἢ τῶν ἀρχόντων τῆς Βενετίας εἰς μάχην κατὰ τῆς χώρας τῆς βασιλείας μου ἢ κατὰ κάστρου ἢ φοσσάτου αὐτῆς ἢ λόγοις ἢ βουλαῖς ἢ ἔργοις ἢ χρήμασιν, ἢ ἵνα ναυλώσωσιν αὐτοῖς ξύλα εἰς τὸ ἐλθεῖν ἢ ἀπὸ τοῦ κουμουνίου κοινῶς ἢ ἀπὸ πραγματευτῶν ἰδικῶς καὶ ἀρχόντων τῆς Βενετίας, ὥστε λαβεῖν ναῦλον, ἢ τὸ κουμούνιον τῆς Βενετίας ἤ τινας τῶν πραγματευτῶν ἢ τῶν καραβοκυρίων καὶ διακομίσαι ἐχθροὺς εἰς τὴν χώραν τῆς βασιλείας μου. εἰ δέ τινες ῥῆγες ἢ πρίγκιπες ἢ κόντοι ἢ βαρούνιοι μετὰ φοσσάτου ζητήσουσι διαπεράσαι ἐπὶ τῷ ἀπελθεῖν εἰς τὸν τοῦ κυρίου τάφον ἢ ἀλλαχοῦ, πρῶτον ἵνα ζητῇ ὅρκον ἐξ αὐτῶν ὁ δοὺξ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Βενετίας καὶ τὸ κουμούνιον, ὅτι οὐ μὴν ἔλθωσι κατὰ χώρας τῆς βασιλείας μου, καὶ οὕτως ἵνα παραχωρῶσιν αὐτοῖς ἀπελθεῖν, ἔνθα βούλονται, εἰς τὴν δουλείαν αὐτῶν· εἰ δ' ἴσως περεγρῖνοί τινες θελήσουσι διαπερᾶσαι δέκα ἢ εἴκοσι τὸν ἀριθμόν, οὐ μὴν ἀπαιτῇ ἐξ αὐτῶν ὅρκον ὁ δοὺξ Βενετίας καὶ τὸ κουμούνιον.

Ἵνα οἱ πραγματευταὶ τῆς χώρας τῆς βασιλείας μου οἱ μέλλοντες ἀπέρχεσθαι εἰς Βενετίαν ποιῶσι τὰς δοκούσας αὐτοῖς πραγματείας, καὶ διδῶσι τὸ κομμέρκιον κατὰ τὴν συνήθειαν τῆς Βενετίας, καὶ ἐξωνῶνται τὰ δοκοῦντα αὐτοῖς ἀνεμποδίστως. — Ἵνα τὰς χώρας, ἃς κρατεῖ ἀρτίως ἡ Βενετία, τὴν Κορώνην καὶ τὴν Μεθώνην, ἔχῃ πάλιν, καθὼς ἔχει αὐτάς. — Ἵνα ἔχῃ τὴν νῆσον Κρήτην, καὶ ὅσοι ἄνθρωποι τῆς βασιλείας μου εὑρίσκονται ἐκεῖσε, ἵνα ἐπάρῃ αὐτοὺς ἡ βασιλεία μου, καὶ οὐ μὴν μεταχειρισθῇ ταύτην ἡ βασιλεία μου. τὰ νησία τοῦ Αἰγαίου πελάγους, ὅσα εἶχεν εἰς εἴσοδον ὁ δοὺξ Βενετίας, ἵνα πάλιν ἔχῃ ταῦτα· ὅσα δὲ ἦσαν ὑπὸ τὴν βασιλείαν καὶ τὸ πριγκιπάτον, ὅτε οἱ Λατῖνοι ἦσαν ἐγκρατεῖς τῆς Κωνσταντινουπόλεως, ἵνα Θεοῦ εὐδοκοῦντος γένωνται ὑπὸ τὴν βασιλείαν μου καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ τὴν Ῥωμανίαν. εἰς τὸν Εὔριπον ἵνα ἔχωσιν, εἴ τι ἔχουσι σήμερον.

Ἵνα δώσει αὐτοῖς ἡ βασιλεία μου εἰς τὸν Ἁλμυρὸν τόπον εἰς κάθισμα, καὶ ποιήσωσιν ἐν αὐτῷ ἀναπαύσεις. ἐπεὶ δὲ ἔχει ἡ βασιλεία μου μάχην μετὰ τοῦ Εὐρίπου, καὶ εὑρίσκονται ἐν αὐτῷ Βενέτικοι, ἵνα ἔχῃ ἡ βασιλεία μου κατακεκρατημένην τὴν σκάλαν τοῦ Ἁλμυροῦ, ὅπως μὴ ἐπαίρωσιν ἀπὸ τῆς τοιαύτης σκάλας βρώσιμα καὶ πόσιμα οἱ ἐν τῷ Εὐρίπῳ Βενέτικοι, καὶ ἀποκομίζωσι ταῦτα εἰς ζωάρκειαν τῶν ἐν τῷ Εὐρίπῳ ἐχθρῶν τῆς βασιλείας μου Λατίνων, μέχρις ἂν δῴη θεός, καὶ γένηται ἐγκρατὴς ἡ βασιλεία μου τοῦ Εὐρίπου, καὶ τότε ἵνα ἀπολύσῃ ἡ βασιλεία μου καὶ τὴν τοιαύτην σκάλαν πρὸς τὸ μέρος τῆς Βενετίας. ὅτε δὲ μέλλει πολεμεῖν ἡ βασιλεία μου μετὰ καὶ τῆς τοῦ θεοῦ βοηθείας τοῖς εἰς τὸν Εὔριπον Λατίνοις, οὐ μὴν ἀποστείλῃ ἡ Βενετία συμμαχίαν ἢ χρῆμα εἰς βοήθειαν αὐτῶν, ἀλλὰ καὶ οἱ ἐν τῷ Εὐρίπῳ εὑρισκόμενοι Βενέτικοι, εἰ μὲν ἀποσχισθῶσιν ἀπὸ τοῦ μέρους τῶν ἐκεῖσε Λατίνων, καὶ πεσοῦσιν ἰδικῶς, καὶ οὔτε τοῖς Λατίνοις συμμαχοῦσιν, οὔτε τῇ βασιλείᾳ μου ἀντιδικοῦσιν, ἵνα φυλάσσωνται καὶ αὐτοὶ καὶ τὸ πρᾶγμα αὐτῶν παρὰ τοῦ μέρους τῆς βασι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ. Ζήτης — ΙΩΑΝΝΙΝΑ 2000

λείας μου ὡς καὶ οἱ λοιποὶ Βενέτικοι· εἰ δὲ ἀντιδικήσουσιν οὗτοι μετὰ τῶν ἐκεῖσε Λατίνων τῷ μέρει τῆς βασιλείας μου εἰς τὸν κατὰ τῶν Εὐριπιωτῶν γενησόμενον πόλεμον, ἵνα καὶ εἰς αὐτοὺς καὶ εἰς τὸ πρᾶγμα αὐτῶν ποιῇ ἡ βασιλεία μου, ὅπερ βούλεται· ἀφότου δὲ βοηθείᾳ θεοῦ ἐπιλάβηται ἡ βασιλεία μου τοῦ Εὐρίπου, τὸν τόπον, ὃν εὑρίσκεται ἡ Βενετία ἔχουσα ἐν αὐτῷ κατὰ τὴν σήμερον, ἵνα δώσει τοῦτον πάλιν ἡ βασιλεία μου πρὸς τὸν εὐγενέστατον δοῦκα Βενετίας καὶ τὸ κουμούνιον αὐτῆς, καὶ ἔχωσι πάλιν τοῦτον, καθὼς ἔχουσι σήμερον.

Ὡσαύτως ἵνα δώσει αὐτοῖς ἡ βασιλεία μου καὶ εἰς τὸ μέρος τῆς Θεσσαλονίκης, ἄνευ τοῦ κάστρου, ἔνθα θέλουσι, τόπον εἰς κάθισμα. εἰς τὸ μέρος τοῦ Βολεροῦ καὶ τῆς Αἴνου, ἔνθα ἀναπαυθῶσιν. ἀπὸ τοῦ Στενοῦ εἰς τὸ μερος τῆς δύσεως εἰς δύο τόπους, ἔνθα ἂν ὀρεχθῶσιν. εἰς τὴν Κωνσταντινούπολιν, εἰς οἷον τόπον θελήσουσιν, ἀπὸ τῆς παλαιᾶς ἐξαρτύσεως μέχρι καὶ τῶν Πηγῶν· εἰ δ' ἴσως ποτὲ τῶν καιρῶν θελήσει ἡ βασιλεία μου δοῦναι τόπον ἐντὸς τῆς Κωνσταντινουπόλεως ἢ τῆς Θεσσαλονίκης τινὶ τῶν λατινικῶν κουμουνίων, ἵνα τότε προτιμῆται ἡ βασιλεία μου τοὺς Βενετίκους, καὶ διδῷ αὐτοῖς τόπον εἰς τὰ τοιαῦτα κάστρα. εἰς τὴν Μαύρην θάλασσαν, ὅπου ἂν ἀρεσθῶσι. εἰς τὸ Ὑρτάκιον, ἵνα ἔχωσι τόπον. εἰς τὸ Ἀτραμύτιον τὰ ὁσπήτια καὶ τὸ λουτρὸν τὰ ὄντα ἐκεῖσε. εἰς τὴν Ἀναίαν τόπον, ἵνα εἰσέρχωνται καὶ ἐξέρχωνται ἐν αὐτῷ. ὡσαύτως καὶ εἰς τὴν Σμύρνην.

Ἵνα ἀποδιώξῃ ἡ βασιλεία μου ἀπὸ τῆς χώρας αὐτῆς καὶ τοὺς ἐχθροὺς αὐτῶν τοὺς Γενουίτας, καὶ οὐ μὴν παραλάβῃ αὐτούς· ἐὰν δέ ποτε τῶν καιρῶν προσέλθωσιν οἱ Γενουῖται τῇ βασιλείᾳ μου, καὶ παρακλητεύσωσιν αὐτὴν, ἵνα δέξηται αὐτοὺς εἰς ἀγάπην, ἄλλως οὐ μὴν ποιήσῃ ταύτην ἡ βασιλεία μου μετ' αὐτῶν, εἰ μὴ μετὰ εἰδήσεως τοῦ δουκὸς Βενετίας καὶ τοῦ κουμουνίου, σωζομένου τοῦ παρόντος ὁρκωμοτικοῦ τῆς βασιλείας μου πρὸς τὴν Βενετίαν. ἀλλ' οὐδὲ ἡ Βενετία ἵνα παραδέξηται αὐτοὺς εἰς ἀγάπην ἄνευ εἰδήσεως τῆς βασιλείας μου, σωζομένου τοῦ πρὸς τὴν βασιλείαν μου ὁρκωμοτικοῦ τῆς Βενετίας. ἐὰν δὲ οἱ τοιοῦτοι ἐχθροὶ αὐτῶν ἀρματώσωσι κάτεργα ἐπὶ τῷ ἐλθεῖν κατὰ τῆς χώρας τῆς βασιλείας μου, ἵνα ἀρματώσωσι καὶ οὗτοι κάτεργα, καὶ ἔρχωνται πρὸς ἀντιπαράταξιν αὐτῶν καὶ βοήθειαν τῆς χώρας τῆς βασιλείας μου, πρὸς τὸ ποσὸν τῶν Γενουϊτικῶν ξύλων

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

καὶ πρὸς ὃ διακρίνουσιν οὗτοι ἀντιπαρατάξασθαι αὐτοῖς, καὶ ἵνα διδῷ ἡ βασιλεία μου τὴν ἔξοδον τῆς ἡμισείας ῥόγας τῶν σωμάτων τῶν τοιούτων κατέργων, γινομένου ὅρκου παρά τε τοῦ δουκὸς Βενετίας καὶ τοῦ κουμουνίου αὐτῶν, ὅτι καθὼς μέλλουσιν οὗτοι δοῦναι τὴν ἡμίσειαν ῥόγαν τῶν τοιούτων σωμάτων ἄνευ τινὸς δόλου, ἵνα διδῷ καὶ ἡ βασιλεία μου τὴν ἡμίσειαν ῥόγαν τῶν σωμάτων, ἰσόποσον τῆς ῥόγας τῆς Βενετίας. ἐὰν δὲ ἡ βασιλεία μου μηνύσῃ πρός τινας τῶν ἀρχόντων τῆς Βενετίας καὶ φίλων τῆς βασιλείας μου, ἵνα ἁρματώσωσι κάτεργα καὶ δουλεύσωσι τῇ βασιλείᾳ μου, καὶ θελήσωσι διὰ τὴν ἀγάπην τῆς βασιλείας μου ποιῆσαι τοῦτο, οὐ μὴν ἐμποδίσονται οὗτοι εἰς τοῦτο παρὰ τοῦ εὐγενεστάτου δουκὸς Βενετίας ἢ τοῦ κουμουνίου αὐτῶν, ἀλλ' οὐδὲ ἡ βασιλεία μου ἵνα ἀποστείλῃ τὰ τοιαῦτα κάτεργα κατὰ χώρας τινὸς ἐχούσης φιλίαν μετὰ τῆς Βενετίας.

Ἵνα, ἐὰν διὰ ξηρᾶς συμβῇ ἐλθεῖν φοσσάτον κατὰ χώρας τῆς βασιλείας μου, οἱ εὑρισκόμενοι ἐν ἐκείνῳ τῷ τόπῳ Βενέτικοι φυλάσσωνται καὶ οὗτοι παρὰ τῆς βασιλείας μου, ὡς καὶ οἱ ὑπὸ τὴν βασιλείαν μου Ῥωμαῖοι, ἢ εἰς Κωνσταντινούπολιν ἢ εἰς Θεσσαλονίκην.

Ἵνα θήσει τὸ κουμούνιον τῆς Βενετίας κεφαλὴν ἐπάνω εἰς τὸν λαὸν αὐτῶν, καὶ ὀνομάζηται μπάϊλος, καὶ ἀποστέλλῃ κατὰ τόπους, ἔνθα μέλλουσιν ἔχειν ἀναπαύσεις, κριτάς, ὅπως διεξάγωσι τὸν λαὸν αὐτῶν. ἀλλὰ καὶ Ῥωμαῖοι, ὅσοι ἔχουσιν ὑπόθεσίν τινα μετὰ Βενετίκων, καὶ θελήσουσιν, ἵνα κριθῶσι παρὰ τοῦ μπαΐλου, ἵνα κρίνωνται καὶ οὗτοι κατὰ τὸ δίκαιον.

Ἵνα ἔχωσιν οἱ ἐγνωσμένοι Βενέτικοι πάντες ἐξουσίαν εἰς πάσας τὰς χώρας τῆς βασιλείας μου, ἐφ' αἷς μέλλουσι ποιεῖν πραγματείαν κατά τε ξηρὰν καὶ θάλασσαν, ἀλλὰ καὶ χωρὶς πραγματείας ἐρχόμενοι ἵνα διέρχωνται καὶ εἰς γῆν καὶ εἰς θάλασσαν χωρὶς τινος δόσεως καὶ ἐμποδισμοῦ καὶ χωρὶς δόσεως τελωνίου, διαβατικοῦ, κομμερκίου, σκαλιατικοῦ καὶ ἄλλης ἁπάσης δόσεως. ἵνα οἱ φέροντες πραγματείας Βενέτικοι, ἔνθα ἂν φέρωσι ταύτας, δεικνύωσιν αὐτὰς τοῖς κατὰ τόπους κομμερκιαρίοις τῆς βασιλείας μου, καὶ μεθ' ὅρκου ἐξασφαλίζωνται, ὅτι οὐκ ἔχουσιν εἰς τὰς πραγματείας αὐτῶν ξένων τινῶν πραγματείας,* ἀλλὰ αἱ πραγματεῖαι ὅλαι εἰσὶ τῶν Βενετίκων. καὶ ἵνα μὴ παρυποκρύπτωσιν ἐκ τῶν πραγματειῶν αὐτῶν τι, ὅπως λαμβάνωσιν οἱ κατὰ τόπους κομμερκιάριοι τῆς βασιλείας μου τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΒΟΗΘΗΤΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. ΓΙΑ της Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

σύνηθες κομμέρκιον ἀπὸ τῶν ἐξωνουμένων αὐτάς. ἵνα ἔχωσι στατῆρας ἰδίους, μοδίους, μέτρα, λίτρας, πήχεις εἰς τοὺς οἰκείους τόπους.

Ἵνα αἱ ἐκκλησίαι αὐτῶν, ἃς μέλλουσιν ἔχειν ἐν οἷς μέλλουσι κατοικεῖν τόποις, ὦσιν ἰδιόρρυθμοι μετὰ δυνάμεως τῆς βασιλείας μου ἄνευ ἀνακρίσεως, καὶ ἵνα ποιῶσιν ἐν αὐταῖς βαπτίσματα καὶ ἱεροτελεστίας, καθὼς ἔχουσι συνήθειαν.

Ἵνα ἐὰν Βενέτικος ἀποθάνῃ εἰς τὴν χώραν τῆς βασιλείας μου, εἴτε διαθήκην ποιήσει, εἴτε οὐ ποιήσει, οἰκονομῆται τὸ πρᾶγμα αὐτοῦ παρὰ τοῦ μπαΐλου ἢ παρὰ τοῦ δικαίῳ αὐτοῦ, καθὼς ἂν οὗτος διάθηται, ἢ ὁ μπάϊλος καὶ ὁ δικαίῳ αὐτοῦ ἐπικρίνῃ, καὶ οὐ μὴν εὑρίσκῃ ἐμποδισμόν τινα ἢ ὄχλησιν ἀπὸ τοῦ μέρους τῆς βασιλείας μου.

Ἵνα ἐὰν συμβῇ κινδυνεῦσαι Βενετίκους μετὰ καραβίων αὐτῶν ἢ μετὰ ἄλλων ξύλων εἰς τὴν χώραν τῆς βασιλείας μου, ὧσι σῶοι καὶ αὐτοὶ καὶ τὰ πράγματα αὐτῶν, καὶ ἵνα ἔχωσι βοήθειαν ἀπὸ τοῦ λαοῦ τῆς βασιλείας μου, ὅπως κρατῶσι τὰ πράγματα αὐτῶν.

Ἵνα ἔχωσιν οἱ Βενέτικοι ἄδειαν ἐξωνεῖσθαι σῖτον ἀπὸ τῆς χώρας τῆς βασιλείας μου καὶ διακομίζειν αὐτὸν, ἔνθα θέλουσι, παρὲξ τῶν χωρῶν τῶν ἐχθρῶν τῆς βασιλείας μου· ὅταν δὲ πωλῆται ὁ σῖτος ἐν τῇ Κωνσταντινουπόλει τὸ κεντηνάριον ἐπέκεινα τῶν πεντήκοντα ὑπερπύρων, οὐ μὴν ἐξωνῶνται αὐτόν.

Ἵνα ἐὰν συμβῇ ποιῆσαί τινα Βενέτικον εἴς τινα Ῥωμαῖον βλάβην, ἐὰν εὑρεθῇ ὁ ποιήσας τὴν βλάβην, τηνικαῦτα ποιῇ ὁ μπάϊλος τὴν ἐκδίκησιν κατὰ τὸ δίκαιον. εἰ δὲ οὐχ εὑρίσκεται ὁ ποιήσας τὴν ζημίαν, ἵνα διδῶται διωρία παρὰ τοῦ μπαΐλου τῷ ἀδικηθέντι μέχρι καὶ ἑξαμήνου· καὶ εἰ μὲν εὑρεθῇ ὁ ποιήσας τὴν ἀδικίαν, ἵνα γένηται ἡ ἐκδίκησις πάλιν κατὰ τὸ δίκαιον· εἰ δὲ οὐχ εὑρεθῇ, ἵνα ποιῇ ὅρκον ὁ μπάϊλος ἢ ὁ δικαίῳ αὐτοῦ διδόναι εἴδησιν πανταχοῦ, ἔνθα ἔνι ἡ ἐξουσία τῶν Βενετίκων, καὶ εὑρίσκηται τὸ πρᾶγμα αὐτοῦ, καὶ ἱκανῶται ὁ ἀδικηθείς. ἐὰν δὲ συμβῇ γενέσθαι φόνον, εἰ μὲν Βενέτικος φονεύσει Ῥωμαῖον, ἵνα κρίνηται οὗτος παρὰ τοῦ μέρους τῆς βασιλείας μου, ὁμοίως καὶ Ῥωμαῖος, ἐὰν φονεύσῃ Βενέτικον. εἰ δὲ Βενέτικος φονεύσει Βενέτικον, εἰ μὲν ἔξω τῆς Κωνσταντινουπόλεως φονεύσει τοῦτον, ἵνα κρίνηται παρὰ τοῦ μπαΐλου· εἰ δὲ ἐν τῇ Κωνσταντινουπόλει γένηται φόνος ἀπὸ Βενετίκου εἰς Βενέτικον, ἵνα κρίνηται καὶ τοῦτο παρὰ τοῦ μέρους τῆς βασιλείας μου.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΣΗ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... Ε.Υ. της Κ. τ. II ΙΩΑΝΝΙΝΑ 2006

Ἵνα ἀπολύσῃ ἡ βασιλεία μου τοὺς Βενετίκους, ὅσους ἔχει κεκρατημένους, καὶ ὅσους δὲ Ῥωμαίους κρατοῦσιν οἱ Βενέτικοι, ἵνα ἀπολύῃ τούτους ὁ δοὺξ Βενετίας καὶ τὸ κουμούνιον· ὡσαύτως δὲ ἀπολύσωσι καὶ τοὺς Κρητικούς, τοὺς Κορωναίους τε καὶ τοὺς Μεθωναίους τοὺς φθάσαντας γενέσθαι τῆς βασιλείας μου καὶ κατασχεθέντας παρ' αὐτῶν, ὁπότε ἦσαν οὗτοι τῆς βασιλείας μου. καὶ εἰ μὲν θελήσουσιν οἱ τοιοῦτοι Κρητικοὶ ἢ οἱ Κορωναῖοι ἢ οἱ Μεθωναῖοι, ἵνα πάλιν ὦσιν ἐκεῖσε, μένωσι παρ' αὐτῶν ἀβλαβεῖς· εἰ δὲ θελήσουσιν ἐλθεῖν εἰς τὴν χώραν τῆς βασιλείας μου, ἵνα ἀπολύωνται μετὰ τοῦ λαοῦ αὐτῶν.

Ἵνα οὐ μὴν παραχωρήσῃ ἡ βασιλεία μου γενέσθαι ἀρμάτωσιν ἀπὸ τῆς χώρας αὐτῆς κατὰ τῶν Βενετίκων· ἐὰν δὲ γένηται ζημία, ἵνα διορθῶται ταύτην ἡ βασιλεία μου.

Ἵνα ἐὰν κουρσάριοι Βενέτικοι ποιήσωσί τινα ζημίαν εἰς τὴν χώραν τῆς βασιλείας μου, ἔνι ἔνοχος ὁ μπάϊλος καὶ οἱ ἴδικοὶ αὐτοῦ ἐπάνω εἰς τὸν ὅρκον αὐτῶν, ὅπως εὑρίσκωσιν αὐτοὺς καὶ κρατῶσι, καὶ ποιῶσι ποινὰς εἰς αὐτούς, καὶ ἐπαίρωσι τὸ πρᾶγμα τῶν ἀδικηθέντων, καὶ ἐπιδιδῶσι πρὸς αὐτούς, ἄνευ μέντοι τῶν Βενετίκων τῶν κρατούντων νησία καὶ μὴ ὑποκειμένων τῇ Βενετίᾳ· ἐὰν δὲ καὶ ἀπὸ ἑτέρου γένους ἢ ἀπὸ τῶν νησίων τῶν, ὡς εἴρηται, μὴ ὑποκειμένων τῇ Βενετίᾳ ἔλθωσι κουρσάριοι κατὰ τῆς χώρας τῆς βασιλείας μου, οὐ μὴν δέχωνται αὐτοὺς ἢ εἰς χώραν αὐτῶν ἢ εἰς νησίον, ἀλλ' ἵνα μάχωνται καὶ ἀποδιώκωσιν αὐτούς, καθὼς καὶ οἱ τοῦ μέρους τῆς βασιλείας μου. ὅστις δὲ ἀναδέχεται τούτους, ἐὰν εὕρῃ τιμωρίαν ἀπὸ τῆς βασιλείας μου, οὐ μὴν ἐνέχεται ἡ βασιλεία μου εἰς τὸν ὅρκον χάριν τῆς παιδεύσεως τῶν τοιούτων.

Ἵνα ἐὰν συμβῇ γενέσθαι τι σφάλμα ἀπὸ τοῦ μέρους τῆς Βενετίας εἰς τὸ μέρος τῆς βασιλείας μου, οὐ μὴν ἀπολύῃ ἡ βασιλεία μου τὴν ἀγάπην τοῦ εὐγενεστάτου δουκὸς Βενετίας καὶ τοῦ κουμουνίου αὐτῶν, καὶ κινῆται εἰς μάχην, ἀλλ' ἵνα διαμηνύῃ τῷ εὐγενεστάτῳ δουκὶ Βενετίας καὶ τῷ κουμουνίῳ, καὶ γίνηται παρ' αὐτῶν ἡ διόρθωσις. ὡσαύτως ἵνα ἐὰν συμβῇ γενέσθαι τι σφάλμα παρὰ τοῦ μέρους τῆς βασιλείας μου εἰς τὸ μέρος τῆς Βενετίας, οὐ μὴν ἀπολύῃ ὁ δοὺξ Βενετίας καὶ τὸ κουμούνιον τὴν ἀγάπην τῆς βασιλείας μου, καὶ κινῆται εἰς μάχην, ἀλλ' ἵνα διαμηνύῃ ὁ δοὺξ Βενετίας καὶ τὸ κουμούνιον τῇ βασιλείᾳ μου, καὶ γίνηται παρὰ τῆς βασιλείας μου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΠΙ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΙΔΗΣ ΔΙΕΥΘΥΝΤΗΣ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε. ΚΑ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

διόρθωσις. εἰ δὲ συμβῇ τὸν εὐγενέστατον δοῦκα Βενετίας τὸ κοινὸν λαβεῖν χρέος, ὅπερ ἀπεύχεται ἡ βασιλεία μου, ἵνα οἱ διάδοχοι τῆς ἐξουσίας τοῦ δουκάτου τῆς Βενετίας καὶ τὸ κουμούνιον αὐτῶν καὶ ἡ μικρὰ καὶ μεγάλη βουλὴ στέργωσι τὰ τοιαῦτα κεφάλαια, ἅπερ δὴ κεφάλαια οὕτως ἐπωμόσατο ἡ βασιλεία μου ἐνώπιον τῶν διαληφθέντων εὐγενῶν δύο ἀνδρῶν καὶ ἀποκρισιαρίων, τοῦ τε σὺρ Ἰακώβου Δελφίνου καὶ τοῦ σὺρ Ἰακώβου Κονταρίνου, ὡς ἐμφανισάντων τῇ βασιλείᾳ μου τὴν ἣν εἶχον οὗτοι ἔγγραφον δύναμιν καὶ ἐξουσίαν ἀπὸ τοῦ δουκὸς Βενετίας καὶ τοῦ κουμουνίου εἰς τὸ τρακταῖσαι καὶ πληρῶσαι τὴν ἀγάπην μετὰ τῆς βασιλείας μου, ἥπερ δὴ γραφὴ ἐπιλέξεων ἔχει οὕτως·

Ἡμεῖς Ραινέριος Ντζένος, θεοῦ χάριτι δοὺξ Βενετίας, γνωστὸν ποιοῦμεν πᾶσι τοῖς τὸ παρὸν ἡμῶν ἔγγραφον θεωροῦσιν· ἐπεὶ τοῖς εὐγενέσι καὶ φρονίμοις ἀνδράσιν Ἰακώβῳ Δελφίνῳ καὶ Ἰακώβῳ Κονταρίνῳ, τοῖς πιστοῖς ἡμῶν καὶ ἀγαπητοῖς, μετὰ τῆς μεγάλης καὶ μικρᾶς βουλῆς τοῦ κουμουνίου τῆς Βενετίας, ἀνεθέμεθα πληρεστάτην δύναμιν καὶ ἐξουσίαν αὐτοῖς ἐδώκαμεν ἐνεργεῖν τὰ παρόντα ἤτοι τρακταῖσαι, συμβίβασιν ποιήσασθαι μετὰ τοῦ ὑψηλοτάτου κῦρ Μιχαὴλ, ἐν Χριστῷ τῷ θεῷ πιστοῦ βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων, Δούκα Ἀγγέλου Κομνηνοῦ τοῦ Παλαιολόγου, καὶ γενέσθαι χρυσόβουλλα καὶ πληρῶσαι καὶ στερεῶσαι μετὰ τοῦ ῥηθέντος βασιλέως, καθὼς αὐτοῖς φανῇ κρεῖττον, καὶ ποιῆσαι καὶ ἀναλαβεῖν ὑποσχέσεις καὶ ὁρκωμοτικὰ δι' ἡμᾶς καὶ διὰ τὸ κουμούνιον τῆς Βενετίας, καθὼς αὐτοῖς φανῇ κρεῖττον, καὶ γενικῶς καὶ διὰ πάντων ποιῆσαι εἰς τὰ προρρηθέντα καὶ εἰς τὰ πλησιάζοντα αὐτοῖς, καθὼς ἂν αὐτοῖς φανῇ εὐχερὲς, ὑποσχόμεθα ἡμεῖς ἐν τῷ ὀνόματι ἡμῶν καὶ τοῦ κουμουνίου τῆς Βενετίας, ἔχειν εἰς ἡμᾶς τὸ στέργον καὶ ἀποδεκτέον καὶ στερεὸν, καὶ οὐ μὴν ἐναντιωθῶμεν, κἂν εἴ τι οἱ εὐγενέστατοι οὗτοι ἢ εἷς ἐξ αὐτῶν, εἰς ὃν φανῇ τὸ παρὸν ἔγγραφον, συμβιβασθῶσιν εἰς τὰ προρρηθέντα· καὶ ἵνα ἡ παροῦσα ἡμετέρα ἀνάθεσις ᾖ πληρεστάτη καὶ στερεὰ, ὡρίσαμεν καὶ ἐβουλλώθη αὕτη μετὰ ἡμετέρου μολβδίνου σιγιλλίου καὶ διὰ χειρῶν Κορράδου τῆς ἡμετέρας αὐλῆς κανικλείου ὡρίσαμεν καὶ ἐσημειώθη. ἐδόθη ἐν τῷ παλατίῳ τοῦ ἡμετέρου δουκάτου τρέχοντος χρόνου τοῦ κυρίου χιλιοστοῦ διακοσιοστοῦ ἑξηκοστοῦ πέμπτου, μηνὶ μαρτίῳ, ἡμέρᾳ δωδεκάτῃ, ἰνδικτιῶνος η'.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΣΧΟΛΗ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΒΙΒΛΙΟΘΗΚΗ Κ.Θ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἐγὼ Κορράδος, νοτάριος τῆς δουκικῆς αὐλῆς τῆς Βενετίας κανικλείου, ἐπλήρωσα καὶ ἐστερέωσα.

Οὕτω μὲν οὖν εἶχε τὰ τῆς γραφῆς· ἡ δέ γε βασιλεία μου οὕτως ὀμνύει φυλάξαι ταῦτα πάντα, ἐὰν καὶ ὁ εὐγενέστατος δοὺξ Βενετίας καὶ τὸ κουμούνιον ταύτης καὶ ἡ μικρὰ καὶ μεγάλη βουλὴ στέρξωσι καὶ φυλάξωσι ταῦτα εἴς τε τὴν βασιλείαν μου, εἰς τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ εἰς τὴν Ῥωμανίαν ἀπαράθραυστα. † Μιχαήλ, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος.

*Orig. membran. tabull. Vindobonensis. Ediderunt G. L. F. Tafel et G. M. Thomas, Sitzungsber. der kais. Akademie 5. 180.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## XXI. 6785—1277, 19. martii ind. 5.

*Imperator Michaël Palaeologus renovat pacta cum Venetis facta.*

† Εἰς τὸ ὄνομα τοῦ αἰωνίου θεοῦ, ἀμήν· ἐπειδὴ μέσον ἡμῶν, Μιχαήλ, ἐν Χριστῷ τῷ θεῷ πιστοῦ βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων, Δούκα Ἀγγέλου Κομνηνοῦ τοῦ Παλαιολόγου καὶ νέου Κωνσταντίνου, θεοστεφοῦς, ἀειαυγούστου καὶ τῆς βασιλείας ἡμῶν ἐξ ἑνὸς μέρους καὶ τοῦ περιφανοῦς κουμουνίου Βενετίας καὶ τῆς ὁλότητος καὶ περιοχῆς τούτου ἐξ ἄλλου μέρους ἔφθασε γενέσθαι καὶ πρότερον τρέβα, ἥτις καὶ διετηρήθη θεοῦ χάριτι καὶ διεπεραιώθη κατὰ τὸν συμπεφωνημένον καιρόν, εἶτα παρετάθη μέχρι τῆς παρούσης ἡμέρας, συνήλθομεν δὲ πάλιν εἰς λόγους συμβιβάσεως, ἵνα ὡς ἐξ ὑπαρχῆς ἑτέρας ἀνανεωθῇ καὶ ἀποκαταστῇ αὖθις ἀναμεταξὺ ἡμῶν ἑτέρα τρέβα, καὶ προέβησαν ἐπὶ τῷ τοιούτῳ τρακταϊσμῷ πολλαὶ καὶ διάφοροι διαπρεσβεύσεις, τέλος δὲ ἦλθοσαν ἀρτίως εἰς τὴν παρουσίαν τῆς ἡμετέρας μεγαλειότητος οἱ εὐγενεῖς καὶ ἔντιμοι ἄνδρες, ὅ τε κὺρ Μάρκος Μπέμπος καὶ ὁ κὺρ Ματθαῖος ἐκεῖνος ὁ Γραδενίκος ἐκ μέρους τοῦ ἐπιφανοῦς ἀνδρὸς κὺρ Ἰακώβου Κονταρίνου, δουκὸς Βενετίας, Δαλματίας καὶ Χορβατίας καὶ αὐθέντου τῶν χωρῶν καὶ τῶν νήσων τῶν ὑποτεταγμένων τῷ δουκάτῳ αὐτοῦ καὶ τοῦ κουμουνίου καὶ τῆς ὁλότητος τῆς Βενετίας, ἔχοντες πλήρη ἐξουσίαν τοῦ τρακταΐσαι, στερεῶσαι καὶ ἐπομόσασθαι εἰς τὴν ψυχὴν τοῦ ῥηθέντος ἐπιφανοῦς δου-

Ε.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

νός. τοῦ κουμουνίου καὶ τῆς ὁλότητος Βενετίας συμφωνίαν καὶ καθαρὰν τρέβαν μετὰ τῆς βασιλείας ἡμῶν, καθὼς ἐμφαίνεται ἐν τῇ ἀναθέσει, ἣν ἡμῖν ἐνεχείρισαν ἐπικεκυρωμένην τῇ βούλλῃ τοῦ τοιούτου ἐπιφανοῦς δουκὸς καὶ τοῦ κουμουνίου καὶ ὑπογεγραμμένην τῇ χειρὶ τοῦ Κοράδου τοῦ καγγελαρίου τῆς αὐλῆς τοῦ τοιούτου ἐπιφανοῦς δουκός, ἧς τὸ ὕφος τοιοῦτον ἐστί·

Ἡμεῖς Ἰάκωβος Κονταρῖνος, θεοῦ χάριτι Βενετίας, Δαλματίας καὶ Χορβατίας δούξ, αὐθέντης τῶν χωρῶν καὶ νήσων τῷ ἡμετέρῳ δουκάτῳ ὑποτεταγμένων, δηλοποιοῦμεν διὰ τοῦ ὕφους τῶν παρόντων πᾶσι τοῖς τὸ παρὸν ὕφος θεασομένοις, ὡς εἰς ὄνομα ἡμέτερον καὶ τοῦ ἡμετέρου κουμουνίου Βενετίας μετὰ τῆς ἡμετέρας μικρᾶς καὶ μείζονος βουλῆς ἀνατιθέαμεν τοῖς εὐγενέσι καὶ φρονίμοις ἀνδράσι, τῷ τε Μάρκῳ Μπέμπῳ καὶ τῷ Ματθαίῳ Γραδενίκῳ, τοῖς πιστοῖς πολίταις καὶ ἠγαπημένοις ἡμῶν, καὶ πλήρη δύναμιν καὶ ἐξουσίαν αὐτοῖς διδόαμεν διὰ τῆς ἀρχηγεσίας τῶν παρόντων καὶ παραχωροῦμεν τοῦ τρακταῖσαι, ποιῆσαι καὶ στερεῶσαι τρέβαν μετὰ τοῦ αἰθριωτάτου κυρίου Μιχαὴλ, ἐν Χριστῷ τῷ θεῷ πιστοῦ βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων, Δούκα Ἀγγέλου Κομνηνοῦ τοῦ Παλαιολόγου καὶ νέου Κωνσταντίνου, ὥστε τὴν τοιαύτην τρέβαν ποιῆσαι καὶ στερεῶσαι δυνηθῆναι εἰς ἡμέτερον καὶ τοῦ τοιούτου ἡμετέρου κουμουνίου ὄνομα μέχρις ἐκείνου τοῦ καιροῦ, οὗ αὐτοῖς φανῇ, καὶ μετ' ἐκείνων τῶν τρόπων, ὧν αὐτοῖς φανῶσι, καὶ καθὼς μετὰ τοῦ τοιούτου βασιλέως ἔσονται καὶ δυνηθῶσιν εἶναι ἐν συμβιβάσει, ὑποσχέσεις, ἐνοχοποιήσεις, ἀσφαλείας καὶ ὅρκους ποιῆσαι καὶ δέξασθαι ὑπὲρ τούτου καὶ πάντα καὶ ἕκαστα, ἅτινα ἐν τοῖς προρρηθεῖσι καὶ περὶ τὰ προρρηθέντα αὐτοῖς δόξουσι καὶ ἔσονται ἀναγκαῖα, καθὼς ἂν ἡμεῖς μετὰ τοῦ τοιούτου ἡμετέρου κουμουνίου ἠδυνήθημεν ποιῆσαι, ὑπισχνούμενοι εἰς ἡμέτερον καὶ τοῦ τοιούτου ἡμετέρου κουμουνίου Βενετίας ὄνομα, μετὰ τῶν ἐξόδων καὶ τῆς ἐνοχοποιήσεως πάντων τῶν ἀγαθῶν τοῦ τοιούτου ἡμετέρου κουμουνίου βέβαιον καὶ στερεὸν ἔχειν καὶ κρατεῖν πάντα καὶ ἕκαστα, ἅτινα οἱ ῥηθέντες εὐγενεῖς ἢ τούτων θάτερος, εἰς οὗ χεῖρας ἡ τοιαύτη ἡμετέρα ἀνάθεσις ἐμφανῇ, ἐν τοῖς προρρηθεῖσι καὶ περὶ τὰ προρρηθέντα ποιήσουσιν ἢ ποιήσει, καὶ ἵνα ἡ τοιαύτη ἡμετέρα ἀνάθεσις πλήρη βεβαίωσιν ἕξει, ταύτην τῇ ἡμετέρᾳ μολιβδίνῃ βούλλῃ κατοχυρωθῆναι προσετάξαμεν, καὶ διὰ χειρὸς τοῦ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Κοράδου, τοῦ νοταρίου, τῆς ἡμετέρας αὐλῆς καγγελαρίου, ταύτην προσετάξαμεν βεβαιωθῆναι. ἐδόθη ἐν τῷ ἡμετέρῳ δουκικῷ παλατίῳ τρέχοντος τοῦ ἔτους ἀπὸ τῆς ἐνσαρκώσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χιλιοστοῦ διακοσιοστοῦ ἑβδομηκοστοῦ ἕκτου, μηνὶ σεπτεβρίῳ, ἡμέρᾳ δευτέρᾳ ἐξερχομένῃ ἰνδικτιῶνος πέμπτης.

Ἐγὼ ὁ Κοράδος, νοτάριος καὶ τῆς δουκικῆς αὐλῆς τῆς Βενετίας καγγελάριος, ἐξ ἐντολῆς τοῦ προρρηθέντος κυροῦ δουκὸς καὶ τῆς βουλῆς αὐτοῦ ἐπλήρωσα καὶ ἐστερέωσα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ἐκ δὲ τῶν διαληφθέντων πρέσβεων ὁ μὲν Γραδενίκος συμπαραγενόμενος μέχρι τῆς βασιλείας ἡμῶν λόγοις οἷς οἶδε θεὸς τὸν τῇδε βίον μετήλλαξε, καὶ πρὸς τὴν αἰωνίαν μετῆρε ζωήν, ὁ δὲ εὐγενὴς ἀνήρ, ὁ σὺρ Μάρκος Μπέμπος, καὶ μόνος καταλειφθεὶς ἐτρακτάϊσε τοὺς τῆς συμφωνίας λόγους μετὰ τῆς βασιλείας ἡμῶν, ὡς ἔχων καὶ οὕτω πλήρη ἐξουσίαν κατὰ τὴν περίληψιν τῆς διαληφθείσης ἀναθέσεως καὶ προκουρατορίας αὐτοῦ, καὶ κατήντησεν εἰς πέρας τῆς συμβιβάσεως. ἡ βασιλεία μου, ἐφιεμένη ὡς ἐρατὴς τῆς εἰρήνης ἔχειν μετὰ πάντων τῶν χριστιανῶν ἕνωσιν καὶ ἀγάπην, συγκατένευσε καὶ συνῆλθε μετὰ τοῦ τοιούτου εἰς καθαρὰν τρέβαν καὶ συμβίβασιν, καθὼς ἐν τοῖς κάτωθεν γεγραμμένοις περιέχεται κεφαλαίοις, ὅθεν καὶ ὀμνύομεν ὑπὲρ ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν κατὰ τὴν τῶν Γραικῶν συνήθειαν, ἵνα ἔχωμεν καὶ φύλασσωμεν δι' ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν τῷ ἐπιφανεῖ δουκὶ καὶ τῷ κουμουνίῳ καὶ τοῖς ἀνθρώποις Βενετίας καὶ τοῖς διαδόχοις αὐτῶν ἀληθῆ καὶ καθαρὰν τρέβαν κατά τε θάλασσαν καὶ ξηρὰν ἄνευ παντὸς δόλου ἀπὸ τῆς σήμερον, ἥτις ἐστὶν ἐννακαιδεκάτη τοῦ παρόντος μαρτίου μηνὸς τῆς πέμπτης ἰνδικτιῶνος ἔτει ἀπὸ τῆς καταστάσεως κόσμου ἑξακισχιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ πέμπτῳ εἴτουν ἀπὸ τῆς ἐνσαρκώσεως τοῦ κυρίου χιλιοστῷ διακοσιοστῷ ἑβδομηκοστῷ ἑβδόμῳ μέχρι καὶ συμπληρώσεως δύο ἐτῶν καὶ τοσοῦτον πλέον, ὅσον ἐσεῖται ἐκ συμβιβά-

Ε. ΛΑ τ.τ.π. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006